TEZAUR LITURGIC

30 IANUARIE

GHEORGHIOS GALANOPOULOS

# CANONUL SF.MUCENIC TEODOR HATZIS DE LA MITILENE-LESBOS

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 30 ΙΑΝΟΥΑΡΙΟΣ

# ΘΕΟΔΩΡΟΣ ΧΑΤΖΗΣ

## Ὁ Κανὼν

### Ποίημα Γεώργιος Γαλανόπουλος

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Χαρίτων τὰ χείλη μου, ὅπως ὑμνήσω σε πλήρωσον, Θεόδωρε ἔνδοξε, χαῖρε κραυγάζοντος, ὅτι ἔλαμψας, ὡς ἄστρον ἐν ἀθλήσει, καὶ ηὔγασας θαύμασι, τοὺς εὐφημοῦντάς σε.

Χαρᾶς τὴν καρδίαν μου, Μάρτυς Θεόδωρε ἔμπλησον, ναῷ καταφεύγοντος, ἀσπαζομένῳ πιστῶς, χαριτόβρυτον, εἰκόνα σὺν λειψάνοις, καὶ λέγοντος πόθῳ σοι, χαίροις πολύαθλε.

Χαρίτων δωρήματα, τοῖς ἀνυμνοῦσι Θεόδωρε, τὴν ἄθλησιν μνήμην σου σὺν τῇ ἀνακομιδῇ, τῶν λειψάνων σου, δὸς πᾶσι φθεγγομένοις, τὸ χαίροις ἀγλάϊσμα, Λέσβου καὶ καύχημα.

Χριστὸς ἐμεγάλυνε, σὲ Νεομάρτυς πανεύφημε, βροτοὶ νῦν γεραίρομεν, ἆθλα καὶ μνήμην πιστῶς, καὶ προσπίπτομεν, τῇ θήκῃ σῶν λειψάνων, βοῶντες Θεόδωρε, χαίροις ἀήττητε.

*Τριαδικόν.*

Χριστὲ πολυέλεε, τᾶξον εἰς δόξης σου δώματα, πρεσβείαις Ἁγίων Σου, ὁ ἀναστὰς ἐκ νεκρῶν, τοὺς

λατρεύοντας, ἀχώριστον Τριάδα, Πατέρα σὺν Λόγῳ τε, καὶ θείῳ Πνεύματι.

*Θεοτοκίον.*

Χριστὸν Ὃν ἐκύησας, μονογενῆ ἀειπάρθενε, γαστρί Σου καὶ ἔτεκες, εἰς σωτηρίαν βροτῶν, ἐκδυσώπησον, φρουρὲ τῆς Ἁγιάσσου, καὶ σῶσον τοὺς κράζοντας· χαῖρε Μητρόθεε.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Χαρὰν ἀνεκλάλητον Κυρίου, εἰρήνην τὴν ἄνωθεν λαοῖς, δὸς Μάρτυς ἀξιΰμνητε, τοῖς πόθῳ σοι κραυγάζουσι· χαῖρε ὁπλῖτα ἄριστε, πιστῶν ὀχύρωμα ἄσειστον.

Χαρὰν τοῖς ᾠδαῖς σὲ ἀνυμνοῦσι, δωρεῖται εἰκών σου ἡ σεπτή, καὶ θήκη τῶν λειψάνων σου, Μάρτυς διὸ φθεγγόμενος, ψάλλων ἀπαύστως χαίροις σοι, αὐτὰς πιστῶς κατασπάζομαι.

Χοροὶ Ἀσωμάτων ἐν ὑψίστοις, ζηλοῦσι πληθὺν τῶν ἀρετῶν, ἣν ἐν ἀσκήσει εἴληφας, βρότειον γένος στέφει νῦν, σὲ τοῖς ᾀσμάτων ἄνθεσι, χαίροις κραυγάζον θεόληπτε.

Χοροὶ ἱερέων τε καὶ ψάλται, προσάδουσί σε ᾀσματικῶς, καὶ πάντες μεγαλύνουσιν, ὁμολογίαν ἔνδοξε, χαῖρε εὐπαῤῥησίαστε, καὶ εὐσθενῆ Μάρτυς λέγοντες.

*Τριαδικόν.*

Χαρᾶς Ζωοδότα Ἰησοῦ μου, ὢ Ἥλιε ἄδυτε ἀεί, πλήρωσον τοὺς δοξάζοντας, Πατέρα Λόγον Πνεῦμά τε, καὶ ἐν τῇ Βασιλείᾳ Σου, στεφάνων δόξης ἀξίωσον.

*Θεοτοκίον.*

Χαρὰν στεφοδότα μετ’ εἰρήνης, καὶ χάριν Σὴν βράβευσον ἡμῖν, πίστει Σὲ μεγαλύνοντας, πρεσβείαις τῆς τεκούσης Σε, τῆς παναμώμου Κύριε, σὺν ἱκεσίαις Ἁγίων Σου.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Χαριτόβρυτος ἡ θήκη τῶν λειψάνων σου δέδεικται, ἣν ὡς ὄλβον ἔχει, κώμη σου γενέτειρα ἔνθεος, ἐν Τρουλωτῆς σεβασμίῳ οἴκῳ ἔνδοξε, ἡ συγχαίρουσα, πᾶσι πιστοῖς καὶ χορεύουσα.

Χριστεπώνυμος χορεία Ὀρθοδόξων μελίσμασι, ἐκ τόπων τῆς Λέσβου, σπεύδει σοῖς ὀστέοις τιμήσασθαι, ὢ Νεομάρτυς Κυρίου, παναοίδιμε, ἀνακράζουσα· χαῖρε τῆς νήσου ἐκβλάστημα.

Χαρωπὴν ἔχων τὴν ὄψιν, πρὸς μαρτύριον ἔδραμες, καὶ ὁμολογίᾳ, αἵματι ἐξέχεας Ἅγιε, ἐγκαρτερήσας βασάνοις ὁ ἀπτόητος· διὸ χαίροις σοι, φάσκομεν νῦν πανσεβάσμιε.

Χερουβεὶμ ἀκαταπαύστως, Σεραφεὶμ Θεῷ ᾄδουσιν, Ἀσωμάτων Τάξεις, ᾆσμα μετὰ σοῦ θεοτίμητε, καὶ ἡ πληθὺς τῶν Λεσβίων, ἐκβοᾶ πιστῶς· χαῖρε τῆς πίστεως πρόμαχε.

*Τριαδικόν.*

Χριστὲ Σῶτερ πηγὴ πέλεις, τοῦ φωτὸς παντοδύναμε, ὃ ἐκπορευτέον, ἐκ Πατρὸς τῶν φώτων Θεότητος, Υἱοῦ καὶ Πνεύματος θείου, ἐστὶν ἄδυτον, τοῖς βοῶσί Σοι· δόξα Τριὰς ὁμοούσιε.

*Θεοτοκίον.*

Χαριτόβρυτον μορφήν Σου, ἐν ᾠδαῖς μεγαλύνομεν, πόθῳ Θεοτόκε, τὴν Σὴν προστασίαν αἰτούμενοι· διὸ βοῶμεν ἀπαύστως ἀπολύτρωσαι, ἡμᾶς θλίψεων, ὡς Γαβριὴλ χαῖρε λέγοντες.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Χορεύει τὰ σύμπαντα, νῦν ἐπὶ σὲ πανεύφημε, χαίρουσα δὲ Λέσβος ἀνακράζει, θερμὸς προστάτης καὶ πρεσβευτὴς πρὸς Θεόν, ἴσθι τῶν τιμώντων σε ἀεί, σκεῦος θεοχώρητον, ἡγνισμένον τῷ Πνεύματι.

Χρυσοῦ τιμαλφέστερον, ἐστὶ λειψάνων κόνισμα, Χριστοῦ καταπέμψαντος πλουσίαν, χάριν ἐν τούτοις, ὡς σὺ τὴν πίστιν χρυσόν, προὔλεξας Χριστοῦ Ἀγαρηνοῖς, καὶ χαλκὸν τὴν βέβηλον, Τούρκων· ὅθεν ζῆν ἔλιπες.

Χαρίτων τοῦ Πνεύματος, κεκόσμηκε Θεόδωρε, σὲ ἡ Τρισυπόστατος Θεότης· χάριν οὖν δίδου, τοῖς χαῖρε φάσκουσι νῦν, ἐπεὶ καθορῶσι θαυμαστά, ἐκ σεπτῶν λειψάνων σου, καὶ εἰκόνος δωρήματα.

Χρυσόπτερος ἵπταται, ὑπὲρ τὴν σὴν γενέτειρα, ἀετὸς σκιάζων θείαν κώμην, ὃν καθορῶντες, ὡς Βασιλέα

Χριστόν, τοῦτον ἐννοῦμεν οἱ πιστοί, σκέπην τε καὶ φύλακα, ὡς σὲ ταύτης ἐκβλάστημα.

*Τριαδικόν.*

Χοὸς πλαστουργήματα, καὶ Σῶν χειρῶν ποιήματα, ἅπαντες ἐσμὲν Ἀδαμιαῖοι, ὦ Ζωοδότα, Υἱὲ ἀνάρχου Πατρός, μεθ᾽ οὗ Πνεῦμα Ἅγιον Θεόν, πίστει προσκυνήσωμεν, τὴν Τριάδα δοξάζοντες.

*Θεοτοκίον.*

Χριστὲ Ζωοδότα μου, ταῖς Σαῖς Μητρὸς δεήσεσι, σῶσον τοὺς πιστῶς Σὲ προσκυνοῦντας, ἐν νήσῳ Λέσβῳ, πάσῃ Ἑλλάδος τῇ γῇ, καὶ τῇ κτίσει τῇ ὑπ᾽ οὐρανόν, καὶ χαρᾶς χαρίτωσον, τοὺς Σὲ ἄχραντε μέλποντας.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Χαράν, τὴν θείαν καταύγασον, πιστοῖς πρωταθλητὰ ἀξιάγαστε, τοῖς χαῖρε κράζουσι· χαῖρε Μαρτύρων ἀγλάϊσμα, τῶν εὐσεβῶν προστάτα, βάθρον τῆς πίστεως.

Χαρίτων ἅπαντας πλούτισον, ψυχὰς τῶν ἀνυμνούντων παλαίσματα, τὰ σὰ θεότιμε, οἰκῶν ἐν πόλῳ νῦν, χαίροις σύ, ὀρθοδοξίας στῦλος, κἀμεῖς καυχώμεθα.

Χρυσοῦ, ὑπερπολυτίμητος, Θεόδωρε ὑπάρχει ἡ πάντιμος, εἰκὼν ἐν οἴκῳ σου· ὅθεν αὐτὴν ἀσπαζόμενοι, μετὰ χαρᾶς βοῶμεν· χαίροις μακάριε.

Χριστοῦ, ὑπὲρ θείας πίστεως, ἐν ἔργοις ἀγαθοῖς καὶ παλαίσμασι, σὺ ὑπερήθλησας· ὅθεν τὸ χαῖρε σοὶ κράζομεν, ὁμολογίας πῦργε, Μάρτυς πανθαύμαστε.

*Τριαδικόν.*

Χορεύει πάντα τὰ πέρατα, βολαῖς ἡλιακαῖς ἀπαστράπτοντα, Τριὰς ἀΐδιε, Πάτερ καὶ Πνεῦμα πανάγιον, σὺν φωτοδότῃ Λόγῳ, Θεότης ἄναρχε.

*Θεοτοκίον.*

Χαρίτων πλήρωσον Δέσποινα, καὶ θλίψεων ἱκέτας ἀπάλλαξον, τοὺς τὴν εἰκόνα Σου, ἀσπαζομένους καὶ μέλεσιν, ὦ Θεοτόκε Μῆτερ, Σὲ μεγαλύνοντας.

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Χρυσοποίκιλτος κιθάρα θείου Πνεύματος, καὶ σάλπιγξ εὔηχος, διδοῦσα ᾆσμα ἡδύ, ἡ ἔνδοξος ἄθλησις, Μάρτυς γεγένηται· διὸ λέγομεν· χαῖρε στεῤῥὲ Θεόδωρε, τοῦ Κυρίου στρατιῶτα.

Χαριτόβρυτος ἡ θήκη τῶν λειψάνων σου, ἡμῖν προβάλλεται, πρὸς ἀσπασμὸν εὐλαβῶς, ἰδίᾳ πατρίδι σου, Μάρτυς πολύαθλε· ὅθεν πρόσδεξαι, πίστει ἡμῶν τὸ χαίρετε, θεοδόξαστε βοῶντες.

Χρυσαυγίζουσιν ἀκτῖνες θείας δόξης σου, Χριστοθεόδωρε, καὶ χαίρει Πύργων Θερμῆς, ἡ κώμη τὴν σήμερον, σοὶ ἀνακράζουσα· χαῖρε πάντιμε, ὁ δοξασθεὶς παρὰ Θεοῦ, τῇ ἐνδόξῳ σου ἀθλήσει.

Χρυσοποίκιλτος σὴ δόξα Μάρτυς ἔφανεν, ἡ αἰωνίζουσα, ἣν Ἀρχαγγέλων χοροί, ζηλοῦντες

συγχαίρουσι, βροτοὶ θαυμάζουσι, καὶ βοῶσί σοι· ἣν ἐκ Θεοῦ ἀπείληφας, δαψιλῶς δὸς ἡμῖν χάριν.

*Τριαδικόν.*

Χριστὲ ᾄσμασι Σὴν θείαν ἐνανθρώπησιν, σαρκὶ δοξάζομεν, Σταυρὸν καὶ Πάθη σεπτά, τριήμερον Ἔγερσιν, τάφῳ ἐκλάμψαντι, φῶς τὸ ἄδυτον, Δόξα Τριὰς Σοὶ κράζομεν, Πάτερ Λόγε ζόν τε Πνεῦμα.

*Θεοτοκίον.*

Χάριν δὸς ἡμῖν ἁγνὴ τοῖς ἀνυμνοῦσί Σου, Γέννησιν Εἴσοδον, ἐν τῷ ναῷ τοῦ Θεοῦ, χαρμόσυνον Σύλληψιν, Γέννησιν μονογενοῦς, τὴν λοχείαν Σου, σὺν τῇ Κοιμήσει καὶ ἐκ γῆς, σεβασμίᾳ Μεταστάσει.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Χαίρει νῆσος Λέσβος ἐν Κυρίῳ, καὶ κώμη Πύργων Θερμῆς νῦν συνευφραίνεται, ἐπὶ Σὲ Θεόδωρε, Μάρτυς πανσεβάσμιε, καὶ Ὀρθοδόξων πλήρωμα καταλαμπρύνεται, βοώντων σοί, ὁπλῖτα τὸ χαῖρε, ἱεράν σου μνήμην, τελοῦν ἐν ὑμνωδίαις.

Χαίρουσι χοροὶ εὐσεβοφρόνων, καὶ σὲ Νεομάρτυς μέλπει θεῖον ἄθροισμα, πάντες χαῖρε κράζουσιν, ὅτι ἑκὼν σκάμματι, Χριστὸν πιστῶς ἐκήρυξας, καὶ ὑπερήθλησας, βασάνους, ὑποστὰς ἀνυποίστους, καὶ τὸ ζῆν ἀγχόνῃ, φρικτῶς ἐτελειώθης.

Χάριν δαψιλῆ εἰς πάντων ῥῶσιν, δώρησαι ἀεὶ λειψάνοις σοῖς Θεόδωρε, σφαῖραν γὰρ ὑδρόγειον, ᾄδουσαν ὑπέρτιμον, καὶ ἔνδοξόν σου ὄνομα,

θεοειδέστατε, ἐπλούτησας, πυρσεύμασι θείοις, νῦν δ’ ἀξιοχρέως, σοὶ χαῖρε ἐκβοῶμεν.

Χώρα ἐν τῷ Μόθωνι κατεῖχε, σὸν σῶμα ὑποχθονίως πλείστοις ἔτεσιν, ὢ λαοφιλέστατε, καὶ ἀειλαμπέστατε, ὃ πίστει ἀνεκόμισε, σεβασμιώτατος, μερὶς δ’ αὐτοῦ ἐδόθη λειψάνων, γῆ ᾗ ἐγεννήθης, Θεόδωρε τρισμάκαρ.

*Τριαδικόν.*

Χάριν σωστικὴν θείου Σου Πάθους, παράσχου Σωτὴρ τοῖς πίστει ἀνυμνοῦσί Σε, ὁ ὑπερυψούμενος, καὶ συνδοξαζόμενος, ὑπ’ Ἀσωμάτων Τάξεων, Πάντων Ἁγίων Σου, μελπόντων, τῇ Ἁγίᾳ Τριάδι, Πάτερ Λόγε Πνεῦμα, ἐλέησον τὸν κόσμον.

*Θεοτοκίον.*

Χαίρουσι πιστοὶ πανευφροσύνως, τὴν Κόρην ὁμολογοῦντες Θεομήτορα, ἔχοντες ἐκτύπωμα, θεῖόν τε θησαύρισμα, ὡς πλοῦτον θεοδώρητον, αὐτῆς κειμήλιον, εἰκόνα, ἣν ὑμνοῦμεν βοῶντες· σῶσον Σαῖς πρεσβείαις, ἡμᾶς ἀκατακρίτους.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Χαῖρε εὐκλεῆ, ὁπλῖτα πανθαύμαστε, Μάρτυς Θεόδωρε, νοῦς θεοπτικώτατος, ἡγιασμένον πνεῦμα τῇ χάριτι, σωματικὸν καθάρσιον, καρδία νήφουσα, σὺ ὑπῆρξας, ὄντως παναοίδιμε, μετανοίας ὑπόδειγμα ἄριστον.

Χάριν θεϊκήν, ἀεὶ δὸς τοῖς τρέχουσι, καὶ ἔνδον βαίνουσι, ναοῖς Θεοῦ ἱεροῖς, τοῦ ἀσπασθῆναι, τίμια

λείψανα, τὰ σὰ σεπτὲ Θεόδωρε, θερᾶπον γνήσιε,, τοῦ Κυρίου, χαίροις ἐκβοῶντές σοι, ὁ ἀρθεὶς θείας δόξης σκηνώματα.

Χάρμα ὀφθαλμῶν, ἐστὶ ἡ πανσέβαστος, θήκη λειψάνων σου, ἣν κατασπαζόμεθα, Τρουλωτῆς δόμῳ, πόθῳ σπουδάζοντες, καὶ ἱεροῖς μελίσμασι, περιπτυσσώμεθα, τὴν μερίδα, τούτων χάριν βλύζουσαν, ἐφ' ἡμᾶς Νεομάρτυς Θεόδωρε.

Χρῖσον τοὺς πιστούς, τοῖς μύροις χαρίτων σου, ὡς καὶ σὺ κέχρισαι, Μάρτυς ὅτε ὥδευσας, τοῦ μαρτυρῆσαι, ἐλθὼν πατρίδι σου, Χριστῷ σὸν αἷμα δ' ἔκχεας, καὶ δὸς τὴν ἄφεσιν, τῶν πταισμάτων, νόσων ἀπολύτρωσιν, καὶ πυρὸς αἰωνίου ἐκλύτρωσιν.

*Τριαδικόν.*

Χρῖσον μύροις Σοῖς, ἐλέους καὶ πλήρωσον, φωτὸς τὸν ἄσημον, Πνευματεμφορούμενον, τὸν ᾆσμα τοῦτο, πλέξαντα Κύριε, ἵνα πιστῶς ὑμνῶ Θεέ, ἀεὶ δὲ κράζω Σοι, προσκυνοῦντα, Τριὰς Τρισυπόστατε, Πάτερ Λόγε, σὺν Πνεύματι δόξα Σοι.

*Θεοτοκίον.*

Χάριτος μισθόν, τῷ ὕμνους ὑφάναντι, δός μοι Μητρόθεε, μεταλαμπαδεύουσα, παθῶν καὶ νόσων, τάχει ἀπάλλαξον, ἄμφω ὑγείαν δώρησαι, εἰρήνην ἄνωθεν, τοῖς βοῶσι· χαῖρε χαριτόβρυτε, τῶν χαιρόντων χαρὰ Χριστοπόθητος.

